Gaisford Greek Prose

1922

A Lucianic Dialogue

between Socrates in Hades and certain men of the present day, who are conducted thither by Pollux on one of his annual excursions

By W. F. R. Hardie
Scholar of Balliol College

Basil Blackwell, Oxford

Gaisford Greek Prose, 1922

ΣΩΚΡΑΤΗΣ

ΕΝ ΑΙΔΟΥ ΤΙΣΙ ΤΩΝ ΕΦ' ΗΜΩΝ ΔΙΑΛΕΓΕΤΑΙ

By W. F. R. Hardie
Scholar of Balliol College

Oxford
Basil Blackwell
MCM XXII

Οὐ πάνυ γοῦν συνήθη καὶ φίλα ἐξ ἀρχῆς ἦν ὁ διάλογος καὶ ἡ κωμῳδία· . . . δέδια τοίνυν μὴ αὖθις ὅμοιόν τι τῷ Προμηθεῖ τῷ σῷ πεποιηκὼς φαίνωμαι, τὸ θῆλυ τῷ ἄρρενι ἐγκαταμίξας, καὶ δι᾽ αὐτὸ δίκην ὑπόσχω· μᾶλλον δὲ μὴ καὶ ἄλλο τι τοιοῦτος φανείην ἐξαπατῶν ἴσως τοὺς ἀκούοντας καὶ ὀστᾶ παραθεὶς αὐτοῖς κεκαλυμμένα τῇ πιμελῇ, γέλωτα κωμικὸν ὑπὸ σεμνότητι φιλοσόφῳ.

LUCIAN, *Prom.* 31, 35.

DIALOGI PERSONAE

SOCRATES
POLLUX
D. LLOYD GEORGE
E. DE VALERA
TROTSKY
G. K. CHESTERTON
W. R. INGE

ΝΕΚΡΙΚΟΣ ΔΙΑΛΟΓΟΣ

ΣΩΚΡΑΤΟΥΣ, ΠΟΛΥΔΕΥΚΟΥΣ, ΓΕΩΡΓΟΥ, ΒΑΛΗΡΙΟΥ, ΤΡΟΤΣΚΙΟΥ, ΓΙΛΒΕΡΤΟΥ, ΙΓΓΙΟΥ.

ΣΩΚ. Ὦ Πολύδευκες—ἐκεῖθεν γὰρ ἔναγχος ἀφικέσθαι σε δοξάζω—πότερον τοὖθ' ὅ σοι ἐνετειλάμην πεποίηκας; παρηγγύων γάρ, ἅτε μόνῳ σοι ἀναβιῶναι κατ' ἔτος ἐξόν, μετελθόντα τινας τῶν ἐκεῖ νῦν εὐδοκιμούντων καταγαγεῖν. βούλομαι γὰρ ἀνερωτᾶν αὐτοὺς καὶ διαλέγεσθαι περὶ τῶν νῦν ἐν ἀνθρώποις πραττομένων· καί, μὰ τὸν Αἰδωνέα, οὐκ ἔσθ' ὅπως ἐπιτιμήσει μοί τις τοῦτο ποιοῦντι ὡς διαφθείροντι τοὺς νέους· ὅλως γὰρ ἤδη, ὥς γέ φασιν, διεφθαρμένοι τυγχάνουσιν οἱ ἐκεῖ καὶ οὐχ ἥκιστα οἱ ἄρχοντες, εἰ χρὴ τοῖς ἐνθάδε ἀεὶ ἀφικομένοις πιστεύειν. φασὶ γὰρ δὴ ὑπὸ Γεώργου τινος, δεινοτάτου λέγειν ἀνθρωπίσκου καὶ ὡς γόητος ὑπό τινων ἀποκαλουμένου, πάντα ἄνω κάτω στρέφεσθαι· περὶ δὲ τούτων ἡδέως ἂν παρ' ἀξιοπίστου τοῦ μάρτυρος ἀκούσαιμι.

ΠΟΛ. Ἀλλ' αὐτόν σοι τὸν ἄνδρα καὶ ἑτέρους γέ τινας τῶν ἔν τε τῇ πολιτείᾳ καὶ ἐν τῇ φιλοσοφίᾳ τὰ πρωτεῖα ἐκεῖ φερομένων κατήγαγον· δεῖ δὲ δι' οὐ συχνοῦ χρόνου ἀνάγειν πάλιν αὐτούς, μάλιστα δὲ τὸν Γέωργον. μόνος γὰρ ἔφη οἷός τε εἶναι τὰ τῆς Εὐρώπης διοικῆσαι καὶ εἰρήνην ποιεῖν καὶ τὸ τοῦ Ἀριστοτέλους ἱκανῶς καταμεμαθηκέναι τὸ "ψευδῆ λέγειν ὡς δεῖ".

ΣΩΚ. Θαυμασίως ὡς ἥσθην, ὦ Πολύδευκες, εἰ τὸν περιβόητον καὶ πανοῦργον τοῦτον τὸν Γέωργον κατήγαγες, καὶ μανθάνειν μάλιστ' ἐπιθυμῶ παρ' αὐτοῦ. τίνες δὲ οἱ ἕτεροι οὓς λέγεις;

ΠΟΛ. Οὐ πάνυ μέμνημαι τὰ ὀνόματα αὐτῶν—ἐπιλήσμων γάρ εἰμί—ἀτὰρ ἦν, ὡς οἶμαι, Βαληρίας τις Ἴβηρος μὲν τῷ γένει, πλαστὸς δὲ Ἰερναῖος, μελάντερος τὴν χροιάν, μακραύχην, μανικώτερος, ἀλαζονικός, μελαγχολῶν, λαλίστατος.

ΣΩΚ. Δημοσθένει τοιγαροῦν ἔοικεν.

ΠΟΛ. Ἀληθῆ ταῦτα φῄς· καταβροντᾷ γὰρ καὶ ἀποκναίει τῇ ἀπεραντολογίᾳ τοὺς Ἰερναίους. πλὴν ἀλλὰ καὶ Τροτσκίαν τινα πάνυ ἀκούσιον κατέσπων· οὗτος δὲ ἐν τοῖς Κιμμερίοις κακοδαιμονεστάτοις γ᾽ οὖσι καὶ ὑπὸ τῶν νεωτεριζόντων αἴσχιστα τρυχομένοις δημηγορεῖ.

ΣΩΚ. Ἐγὼ δ᾽ ἀεί πως ἔχαιρον τοὺς δημηγόρους ἐξετάζων.

ΠΟΛ. Ἦν δὲ καὶ Γίλβερτός τις πολλῷ κομψότατος καὶ γελοιότατος ὧν ἐκεῖ ἐπεῖδον· χαίρει δὲ ὁ ἄνθρωπος τοὺς ἀλάζονας τῶν φιλοσόφων ἐπισκώπτων.

ΣΩΚ. Ποῖός ἐστι τὴν ὄψιν;

ΠΟΛ. Κλεωνύμῳ μάλιστα ὅμοιος, μέγας ὤν, ὑπ᾽ εὐωχίας ἐξῳδηκὼς τὴν γαστέρα, πολύσαρκος, ζωρότερον ἐπιεικῶς πίνων· ὅμως δὲ ἐρρωμενέστατός ἐστι τόν γε νοῦν καὶ ἀστειότατα σοφίζεται παράδοξα αἰνιττόμενος.

ΣΩΚ. Ζῴοις ἐπὶ μήκιστον, ὦ Πολύδευκες, ὅτι τοιούτους μοι κατήνεγκες· οἵτινες δὲ οἱ λοιποὶ συντεμὼν εἰπέ· σπουδάζω γὰρ ἐπ᾽ αὐτοὺς ἰέναι.

ΠΟΛ. Φήμη μὲν ἦν τότε περὶ Αἰμιλίου[1] δή τινος περιβοήτου ἐν τῇ ἐκεῖ Ἀκαδημείᾳ ὃν ἐβουλόμην κατάγειν· οὗτος γὰρ ἐν τῇ ψυχολογικῇ καλουμένῃ ἐπιστήμῃ ηὐδοκίμησεν.

ΣΩΚ. Γεννάδας εἶ καὶ ὑπερήδιστα ποιεῖς τοιοῦτον ἄνδρα καταγαγών· καὶ γὰρ ἐνθάδε πολλῶν ἤκουσα πολλὰ φλυαρούντων περὶ ἄλλων τε καὶ δὴ καὶ περὶ Φροιδίου τινος· σαφὲς δ᾽ οὐκ ἤκουσα οὐδὲν παρ᾽ οὐδενός.

ΠΟΛ. Ἀτὰρ οὐ κατήγαγον αὐτόν· ἐφευρεῖν γὰρ οὐκ ἐδυνάμην πανταχοῦ ζητήσας· καίτοι ἐπίδειξίν τινα ἐν τῇ

[1] Dr. Emil Busch: see *Cherwell*, March, 1922.

πόλει ἐπεδείκνυεν πολλῶν παρόντων τῶν ξυνετωτάτων πεφυκέναι δοκούντων· ἔοικεν δὲ ὁ ἄνθρωπος ἤτοι "σκοτοδασυπυκνότριχά τινα Ἄιδος κυνέην" ἢ δακτύλιον γε Γύγου κεκτῆσθαι. ἐγὼ γοῦν καίπερ ἥρως ὢν οὐχ οἷός τε ἦν κατιδεῖν αὐτόν.

ΣΩΚ. Ἀλλ' οὐδέν μοι μέλει· ἐφλυάρησεν γὰρ ἂν ἴσως· εἰ δὲ καὶ ἄνω ἦν σκιᾷ ὁμοῖος, πῶς οὐκ εἰκός ἐστιν αὐτὸν ἀποδειλιᾶν καὶ οὐκ ἐθέλειν ἐνθάδε πορεύεσθαι, ὀρρωδῶν δήπου μὴ καὶ σκιᾶς σκιὰ γένηται;

ΠΟΛ. Εἰκὸς τοῦτ' ἔστιν, ὦ Σώκρατες· ἀλλ' ἐν τῇ αὐτῇ πόλει τοῦτο θαυμασιώτατον ἐπυθόμην· ὁ γὰρ ἐκεῖ τοῖς νέοις ἐπιστατῶν[1] ἄλλα τε πεφιλοσόφηκε καὶ τὰ περὶ ἡμᾶς τοὺς ἡρῴας, καὶ βιβλῶν ἀμήχανον ὅσον πλῆθος περὶ ἡμᾶς ἐξέδωκεν ὀρθότατα καὶ ξυνετώτατα τοπάζων ὡς σύνθετόν τι ἐσμὲν μεταξὺ θεοῦ καὶ ἀνδρός· ἐγὼ δ' οὐ συνέτυχον αὐτῷ οὐδαμοῦ ὥστε μὴ δύνασθαι καταγαγεῖν. ἀτὰρ ἐνοχλῶν σε αἰσθάνομαι τῇ μακρολογίᾳ· σπεύδεις γὰρ τῷ τε Γεώργῳ καὶ τοῖς ἄλλοις διαλέγεσθαι. ἕνα δ' ἔτι κατήγαγον ᾧ τοὔνομ' ἐστιν Ἰγγίας, ὀλιγαρχικὸς μὲν τῇ φύσει καὶ καταφροντιστὴς τοῦ δήμου, σοῦ δέ, ὦ Σώκρατες, καὶ τοῦ Πλάτωνος ἐραστής· ὑπομειδιῶν γοῦν πρὸς ἑαυτὸν ἐν τῇ ὁδῷ διετέλει καὶ ἔχαιρεν ὡς ὁμόνεκρος σοι γενησόμενος· ὅμως δ' ἐπωνυμίαν ἔχει ὑπό τινων "τὸν σκυθρωπὸν ἱεροφάντην" ἀποκαλούντων αὐτόν· ἱεροφάντης μὲν γὰρ ἐστίν, ἐμοὶ δὲ δοκεῖ ἰδίους τινας δαίμονας, ὥσπερ καὶ σὺ ὅτε ἔζης, καὶ κόμμα θεῶν καινὸν σέβεσθαι.

ΣΩΚ. Εἴσαγε νῦν μοι τοῦτόν τε καὶ τὸν Γέωργον· εἰ δὲ ἐθέλεις, καὶ τὸν Γίλβερτον.

ΠΟΛ. Εἰσάγω σοι τούτους, ὦ Σώκρατες.

ΣΩΚ. Ὦ Γέωργε πολιτικώτατε καὶ δεξιώτατε, ἡ μὲν δόξα σοῦ ὡς καταπολεμήσαντός τε τοὺς Γερμάνους καὶ δεινοτάτου ὄντος λέγειν πάλαι καὶ ἐνταῦθα ἀφικνεῖται· νῦν δὲ χαίρω σε προσβλέπων αὐτόπτης.

[1] The Vice-Chancellor.

ΓΕΩ. Ἀψευδὴς αὕτη γ' ἡ δόξα· τοιοῦτος γὰρ ἐγὼ "εὔχομαι εἶναι" ὅστις γε—

πᾶσι δόλοισι
ἀνθρώποισι μέλω, καί μευ κλέος οὐρανὸν ἵκει.

σὺ δὲ τίς εἶ; ἀκούσας γὰρ παρὰ τούτου ἐπελαθόμην.

ΣΩΚ. Ἐγώ εἰμὶ Σωκράτης.

ΓΕΩ. Χαῖρε, ὦ Σώκρατες. καὶ γὰρ ἐγὼ χαίρω φιλέλλην ὢν ἀπαντῶν σοι. ὅτι μὲν γὰρ Ἕλλην ἦσθα οἶδα· ὅ τι δὲ ἔπραξας ἐν τῷ βίῳ οὐ πάνυ μέμνημαι.

ΙΓΓ. Ὦ ἀμαθέστατε καὶ ἀπαιδευτότατε Γέωργε, οὐκ ἄρα ἐπίστασαι ὅστις ἦν ὁ Σωκράτης, σοφώτατός γε ἀνθρώπων καὶ Ἑλληνικώτατος; πῶς οὐκ ἐς Τάρταρον καταρρίπτεσθαι ἄξιος εἶ; ὁρᾷς, ὦ Σώκρατες, ὑφ' οἵων ἡμεῖς οἱ νῦν ἀρχόμεθα· ἐπίστανται μὲν γὰρ ὧν δεῖ οὐδέν, κολακευτικώτεροι δὲ πεφυκότες πάνθ' ὑφ' ἑαυτοῖς καταστρέφουσι χειρούμενοι τῇ δεινότητι· ἀτὰρ ποῖ δὴ ἀπέφυγεν ὁ ἐπίτριπτος;

ΠΟΛ. Δεῖν ἔφη ἐγκυκλοπαιδείαν δή τινα Βρεταννικὴν ἀναγιγνώσκειν· τοῦτο δὲ βιβλίον ἐστὶ πάμμεγα ὁ ὑπὸ μάλης ἔχων ἔλαθεν τὸν Χάρωνα ἐν τῷ σκαφιδίῳ διαπλέων· ἀλλ' αὐτὸς ὁ ἄνθρωπος ὅδε πάλιν ἀνέρχεται· ἔοικεν δὲ ὑπερήδεσθαι καὶ μόνον οὐκ ἐξίστασθαι ἑαυτοῦ τῇ χαρᾷ.

ΓΕΩ. Ὦ μακάριε καὶ φιλοσοφώτατε Σώκρατες, μὴ μοὶ οἷς οὗτοί με διαβαλοῦσι τὸν νοῦν προσσχῇς· εἰσὶ γὰρ οὐδενὸς ἄξιοι καὶ ὁ μὲν μελαγχολᾷ καὶ ἀλαζονεύεται, ὁ δὲ βωμόλοχος ἐστίν· ἐγὼ δὲ νυνδὴ οὐκ οἶδ' ὅπως οὐκ ἀνεγνώρισα σε—καὶ τοῦτό μοι μὴ μνησικακήσῃς, ὦ βέλτιστε—καίπερ ὢν ἐν ἅπαντι τῷ βίῳ ἐπαινετής σου καὶ μιμητής, καὶ εἴ τις ἄλλος φιλελληνικώτατος.

ΙΓΓ. Ὦ Ζεῦ καὶ θεοί.

ΓΕΩ. Ἔναγχος δ' ἐν τοῖς πατρίοις ἐμοῖς ὄρεσιν τοῖς Καμβρικοῖς ἐλινύων θαυμασίως ὡς ηὐφράνθην τὴν Πολι-

τείαν σου ἀναγιγνώσκων, μάλιστα δὲ τοῦθ' ὃ λέγεις περὶ τὸ σημεῖον τὸ δαιμόνιον.

ΙΓΓ. Ὦ πάντων ἀναισχυντότατε.

ΓΙΛ. Κακοδαιμονᾶν ἔοικεν ὁ Γέωργος· κατὰ γὰρ τό γε δαιμόνιον οὐκ εὐδαιμονεῖ.

ΣΩΚ. Πλὴν ἀλλὰ πῶς δὴ φὴς ἐμὴν εἶναι τὴν Πολιτείαν ἐκείνην οὐκ ἐμὴν οὖσαν ἀλλὰ Πλάτωνος; ἐγὼ γὰρ οὔπω τοσαῦτα ἐπινενόηκα οὐδ' ὠνειροπόληκα.

ΓΕΩ. Εἰ δὲ μὴ ταῦτα διελέγου, ὦ Σωκρατίδιον, ἀλλὰ πολλῷ βελτίονα· ἀτὰρ τόδε δὴ δεινὸν ποιοῦμαι· ὁ γὰρ Χάρων οὐκ εἴασεν ἐμὲ δεῦρο ἐνεγκεῖν τὰς γολφικὰς κορυνάς· οὐ γὰρ κορυνηφορεῖν ἐξεῖναι ἔφη τοῖς νεκροῖς· ὑπόσαθρον γὰρ ὂν τὸ σκαφίδιον ἱκανὸν εἶναι μόνα τὰ σώματα ψιλὰ ὄντα φέρειν. ἐγὼ δ' οὐδ' εἰ ἕκατον κορυνὰς ὥσπερ ὅ τε Βαρδόνιος καὶ ὁ Βρηδίας φέροιμι, ὅμως οὐκ ἂν ἰσοστάσιος γενοίμην τῷ γε Γιλβέρτῳ.

ΣΩΚ. Παῦε, παῦ', ὦ βέλτιστε καὶ χαριέστατε Γέωργε· νῦν γὰρ ὡς οὐδὲ ἐν τῷ δικαστηρίῳ καθεστὼς εἰλιγγιῶ καὶ χασμῶμαι· δοκεῖς δέ μοι μυστήρια λέγειν ὡς ἐν ἀπορρήτοις. τί δῆτα λέγεις τὸν γόλφον;

ΓΕΩ. Ὅ τι λέγω τὸν γόλφον, δι' οὗ μόνου ἐγὼ τόν τε Βριανδίαν καὶ ἄλλους πολλοὺς κατεπάλαισα; ὁ γόλφος, ὦ Σώκρατες, διαγωγή ἐστι καὶ παιδιὰ γενναιοτάτη καὶ ἐλευθεριωτάτη πασῶν τῶν παιδιῶν.

ΣΩΚ. Καὶ πῶς δὴ παίζουσιν οἱ παίζοντες;

ΓΕΩ. Σφαῖραν πάμμικρον παίοντες ῥοπάλοις τισι διαφέρουσιν ἀλλήλων—τὰ μὲν γὰρ ξυλινὰ τὰ δὲ σιδηρᾶ, καὶ τὰ μὲν μείζονα τὰ δ' ἐλάττονα—εἰς τρῆμα πάμμικρον ἐν γῇ τετρημένον ἐμβάλλειν πειρῶνται.

ΣΩΚ. Εὐηθέστατά γε καὶ ἀνοητότατα ποιοῦντες. ὁ δὲ Βαρδόνιος τίς καὶ ὁ Βρηδίας; πότερον ὁ μὲν Μῆδος ὢν ὁ δὲ Λακεδαιμόνιος οὕτως ἀλαζονευόμενοι τερατεύονται;

ΓΕΩ. Ἥκιστά γ' ἀλλ' Ἀγγλοὶ τῷ γένει, καὶ ὁ μὲν

νησιώτης, ὁ δὲ Καλη*δόνιος· σὺ δ', ὦ* Σω*κρατίδιον, ἤκουσάς που καὶ πάλαι περὶ ταύτης τῆς παιδιᾶς ;*

ΣΩΚ. Ναί· *νυνδὴ γὰρ καὶ μέμνημαί τινων* λε*γόντων τῶν ἄνωθεν ἀφικομένων ὡς ἡδέως ἂν γολφικόν τινα δρόμον ἐποικοδομήσειαν ἐν τῷ* Ἠλυσί*ῳ πεδίῳ· εὖ γὰρ ἂν κεῖσθαι ἐκεῖ τὴν σφαῖραν ὥσπερ ἐν* Ἱεραν*δρίαις ποτέ, εἴ γε ἐξορύττοιεν τὸν ἀσφόδελον· ἀλλ' ἐκωλύθησαν ὑπὸ τοῦ* Πλού*τωνος κάλλιστα ποιοῦντος· πλὴν ἀλλὰ μηκέτι τοιαῦτα φλυαροῦντες διατρίβωμεν· ἱκανῶς γὰρ ἤδη πεφροιμίασται ἡμῖν. ἐβουλόμην δὲ περὶ ὧν πεπολίτευσαι μᾶλλον ἐρωτᾶν. πολλοὶ γὰρ ἀρτίως ἐνθάδε ἀφίκοντο ἀποκαλοῦντές σε, οἱ μὲν ὡς γόητα καὶ μάγον καὶ κόθορνον, οἱ δέ, μάλιστα δὲ οἱ* Ἱερ*ναῖοι, ὡς μιαιφόνον καὶ ἀπάτηλον. ἐγὼ δὲ ἡδέως ἂν πυνθανοίμην ὅ τί τε προαιρεῖ μάλιστα πολιτευόμενος, καὶ πότερον ψευδῆ ἅπαντα διαβάλλουσιν ἐκεῖνοι. σὺ δὲ νῦν, ὦ* Πολύ*δευκες, τόν τε* Βαλη*ρίαν καὶ τὸν* Τροτ*σκίαν εἴσαγε.*

ΒΑΛ. Ὦ *ἐπιτριπτότατε καὶ ψευδέστατε* Γέωργε, *ὅς γε τὴν ἐμὴν πατρίδα ἐξηπάτησας καὶ ἐπέτριψας κακῶς, καὶ τὸν* Μίκη*λον πρότερον τῶν πιστοτάτων ὄντα ἐμοί τε καὶ τῇ* Ἱερ*νίᾳ, καὶ τῆς αὐτονομίας ἐπιθυμοῦντα κατεγοήτευσας καὶ προδοῦναί με πεποίηκας.*

ΤΡΟ. Ὦ *μιαιφόνε καὶ πανουργότατε* Γέωργε, *ὅς γε τὴν ἐμὴν πατρίδα—τὴν* Κιμ*μερίαν λέγω—λιμῷ ἐξώλεσας καὶ διέφθειρας. πρῶτον μὲν γὰρ τῷ* Οὐιν*στῶνι πειθόμενος ἐμοὶ καὶ τῷ* Λη*νίνῳ ἀντηγωνίζου στρατιώτας καὶ χρήματα ἀποπέμπων πρὸς τοὺς ἀεὶ ἀφισταμένους, εἶτα δὲ ἐμπορεύεσθαι οὐκ ἐθέλων πρὸς ἡμᾶς.*

ΣΩΚ. Τί *δῆτα κατηγοροῦσι σοῦ, ὦ* Γέωργε ;

ΓΕΩ. Μά*ταια πολλὰ καὶ ἄλογα· οὗτος μὲν γὰρ ὁ* Βαλη*ρίας ὁ τοὺς ὀδόντας ὑποπρίων ὀργίζεται καὶ ἀγανακτεῖ ἐφ' οἷς ἐγὼ δεξιώτατα καὶ φρονιμώτατα ἐν τῇ* Ἱερ*νίᾳ πεπολίτευμαι. αἰσθανόμενος γὰρ τοὺς μὲν* Ἀγγ*λοὺς οὐκ ἄν ποτε τῆς νήσου ἧς πεντακοσίους ἐνιαυτοὺς*

ἐκράτησαν ἀφιεμένους, ἐκείνους δὲ τὴν αὐτονομίαν περὶ πλείστου ποιουμένους, καὶ προορώμενος οὐκ ἀναιμωτί ποτε διαλλαχθησομένους οὕτω δὴ—ὅπερ μάλιστά μοι διαβέβληται—βίᾳ καὶ ὅπλοις χρήσασθαι ἐτόλμησα, ὡς οὐ δέον

θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι.

ΒΑΛ. Ναί· καὶ πυρί γε καὶ λωποδυσίᾳ καὶ ὠμότητι καὶ φόνῳ πλείστῳ.

ΓΕΩ. Τέλος δὲ μόγις πως εἰρήνην ἐποίησα ἥτις ἡμῖν τε καὶ ἐκείνων τοῖς πολλοῖς ἤρεσκε, τούτῳ δὲ καὶ τοῖς βιαιοτάτοις οὔ.

ΒΑΛ. Οὐ γάρ πω τὴν αὐτονομίαν κεκτήμεθα ἅτε οὔπω ὅλως τῶν Ἀγγλῶν τῶν ἐπιόρκων κεχωρισμένοι.

ΣΩΚ. Ἀτάρ, ὦ βέλτιστε, τοῦτ' ἐμοὶ ἀποκρίνου· τίνος ἕνεκα μάλιστα τῆς αὐτονομίας ἐπιθυμεῖς ;

ΒΑΛ. Ἵνα αὐτοὶ ἡμῶν αὐτῶν ἄρχωμεν καὶ μὴ ὑπ' ἀλλοδάπων καὶ ταῦτα ἐπιόρκων δεσποζώμεθα.

ΣΩΚ. Τὸ δὲ "ἡμᾶς αὐτοὺς" πότερον ἅπαντας λέγεις τοὺς πολίτας ἢ ὀλίγους ; εἰπέ μοι παυόμενος τῆς ὀργῆς καὶ τῆς λοιδορίας ἵνα βέλτιον ἐξετάσωμεν.

ΒΑΛ. Πάντας δήπου· δημοτικὰ γὰρ φρονῶ.

ΣΩΚ. Ἐὰν δὲ μὴ ὁμογνωμονῶσιν οἱ σύμπαντες καὶ ὁμόψηφοι μὴ γένωνται, πότερον τοῖς πολλοῖς ἐπιτρέψεις τὴν ἀρχήν ;

ΒΑΛ. Ναί· ἀνάγκη γάρ.

ΣΩΚ. Οὔκουν ἀληθεύει ὁ Γέωργος τοὺς πολλοὺς λέγων ἐμμένειν βούλεσθαι ταῖς σπονδαῖς ;

ΒΑΛ. Ὀρρωδοῦσι γὰρ μὴ αὖθις πολεμῶνται· δεῖ δὲ πάντως ἔχεσθαι τῆς αὐτονομίας.

ΣΩΚ. Ἄτοπον λέγεις καὶ ἀλλόκοτον τὴν αὐτονομίαν.

ΓΙΛ. Ἀληθῆ ταῦτα φῄς, καὶ ὀρθότατα ἐξελέγχεις τὸν ἄνδρα, ὦ Σώκρατες, οὐδὲν ὑγιὲς φρονοῦντα οὐδ' αὐτὸν αὐτῷ ὁμογνωμονοῦντα. ταὐτὸ δὲ τοῦτο πάσχουσιν ἅπαντες οἱ νῦν ἐν ταῖς ἀρχαῖς ὄντες· φάσκουσι μὲν γὰρ

δημοτικὰ φρονεῖν, καὶ τὰ πᾶσι δεδογμένα πολιτεύεσθαι· ὡς δ' ἀληθῶς τὰ ἑαυτῶν μόνον φρονοῦσι φιλοκερδεῖς καὶ κολακευτικοὶ πεφυκότες. εἰ δὲ βούλει τὸν Τροτσκίαν τουτονὶ ἐξέτασον, καὶ νὴ τὸν Δία καὶ τὸν Γέωργον.

ΣΩΚ. Ἐξετάσω τοίνυν· εἰπέ μοι, ὦ Τροτσκία, πάντων ὅσα ἀνθρώποις ὑπάρχει ἀγαθὰ τί μέγιστον οἴει, καὶ περὶ πλείστου ποιεῖ πολιτευόμενος;

ΤΡΟ. Ἐγὼ μέν, ὦ Σώκρατες, τὴν δημοκρατίαν καὶ τὴν ἰσονομίαν καὶ τὴν ἰσότητα.

ΣΩΚ. Ποίαν δὲ λέγεις τὴν ἰσότητα, πότερον τοιάνδε; εἰ πάντες ἴσοι ἦσαν μεγέθει καὶ κάλλει καὶ σώματι καὶ διανοίᾳ, τότε δὴ ὀλβιωτάτους ἂν γενέσθαι τοὺς ἀνθρώπους;

ΤΡΟ. Οὐκ, ἀλλὰ τόδε· δοξάζω γάρ, ἐπειδὴ ἴσως εἰσὶν ἄνθρωποι ἢ ἄνθρωποι πάντες οἱ ἄνθρωποι, ἅπασι δεῖν ἴσα καὶ τὰ χρήματα ὑπάρχειν.

ΣΩΚ. Παῦε, παῦ', ὦ Τροτσκία· ἀπορῶ γὰρ ἤδη ὅ τι λέγεις· τοιγάρτοι ἀποκρίνου μοι ἵνα σαφέστερον γένηται τὸ σκοπούμενον· καλεῖς τι ἵππον;

ΤΡΟ. Ναί.

ΣΩΚ. Οὔκουν καὶ ἱππικὴν ἀρετήν; λέγω δὲ τὸ ταχὺν εἶναι καὶ ἰσχυρὸν καὶ τὰ τοιαῦτα.

ΤΡΟ. Συνδοκεῖ.

ΣΩΚ. Καὶ ὅσῳ βελτίων κατὰ ταύτην τὴν ἀρετὴν τὴν ἱππικὴν τοσούτῳ ἔσται ἱππικώτερος ὁ ἵππος; καί μοι ἀκριβῶς ἀποκρίνου ἵνα πλέον τι ποιῶμεν ἀναλογιζόμενοι.

ΤΡΟ. Ἔσται ταῦτα.

ΣΩΚ. Καὶ ὅσῳ ἱππικώτερος τοσούτῳ μᾶλλον ἵππος;

ΤΡΟ. Φημί.

ΣΩΚ. Ὡσαύτως δὲ οἱ ἄνθρωποι διαφέρουσιν ἀλλήλων κατὰ τὴν ἀνθρωπινὴν ἀρετήν;

ΤΡΟ. Διαφέρουσι γάρ.

ΣΩΚ. Οὐκ ἄρα πάντες ἴσως ἄνθρωποι, ἀλλ' ὁ μὲν μᾶλλον, ὁ δ' ἧσσον;

ΤΡΟ. Ἔοικεν ἐκ τῶν εἰρημένων συμβαίνειν.

ΣΩΚ. Πλὴν ἀλλὰ τοῦτο μὲν ἐάσω· τόδε δὲ ἀποκρίνου· ποίᾳ τῇ μηχανῇ χρώμενος ἅπαντας ἴσα ἔχειν τὰ κτήματα ἀναγκάζεις; πάνυ γὰρ ἰσχυρᾶς δεῖσθαι καὶ δεινῆς ἔοικεν.

ΤΡΟ. Τὸ λεγόμενον, ἅπαντα κοινὰ τὰ τῶν φιλῶν ἡγούμεθα, καὶ οὕτως δὴ ἰσότητά τινα πᾶσι τοῖς πολίταις διανέμομεν.

ΣΩΚ. Ἀφαιρούμενοί γε τὰ τῶν ἰδιωτῶν· ὑμεῖς δέ που οἱ φυλάττοντες τὰ κοινὰ καὶ διανέμοντες αὐτοὶ μισθὸν οὐκ ἀνάξιον ἔχετε τῆς ἐπιτροπείας. ἐγὼ δὲ τοὺς πολίτας τοὺς ὑμετέρους ἄγαμαι τῆς εὐηθείας καὶ τῆς φιλοπονίας, εἴ γε μὴ ἰδίου ἕνεκα κέρδους ἀλλ' ἐς τὰ κοινὰ οὕτως ἐργάζεσθαι ἐθέλουσιν· θεῖον γὰρ τὸ πάθος καὶ οὐ τῆς τυχούσης ἀρετῆς δεόμενον.

ΤΡΟ. Ἀλλ' οὐκ ἐθέλουσιν, ὥστε ἡμεῖς αὐτοὺς ἀναγκάζομεν τὰ δέοντα ποιεῖν.

ΙΓΓ. Ναί, ὅπλων γε βίᾳ καὶ λιμῷ χρώμενος ὥσπερ ἐκείνῃ τῇ

διπλῇ μάστιγι τὴν Ἄρης φιλεῖ,
δίλογχον ἄτην, φοινίαν ξυνωρίδα.

ΣΩΚ. Βάβαι, ὦ Τροτσκία· ἐγὼ οὐκ ἰσονομίαν ταῦτ' εἶναι ἀλλ' αἰσχίστην τυραννίδα δοξάζω· δῆλος εἶ ἤτοι μαινόμενός γε ἢ ἐξεπίτηδες ἐξαπατῶν καὶ φενακίζων· ἄπαγε, ὦ Πολύδευκες, τοῦτόν τε τὸν κατάρατον καὶ τὸν Βαληρίαν.

ΓΙΛ. Τοῦτον μέν, ὦ Σώκρατες, ὑπέρευ ἐξήλεγξας λόγῳ μὲν δημοτικὰ φρονεῖν φάσκοντα, ἔργῳ δὲ πλεονεκτοῦντα καὶ ὑποκρινόμενον· ταὐτὸ δὲ τοῦτο ποιεῖ καὶ ὁ Γέωργος οὗτος ὅστις ὑπὸ τοῦ δήμου χειροτονηθεὶς οὐ τὰ τῷ δήμῳ συμφέροντα πολιτεύεται, ἀλλὰ τὰ τοῖς χρηματισταῖς.

ΓΕΩ. Ἄληθες, ὦ οὗτος; ἐμὲ τοίνυν διαβάλλεις προπηλακίζων ὡς οὐκ εἰμὶ φιλόδημος, ὅστις γε τοῖς

Εὐπατρίδαις οὕτω προθύμως ἀντηγωνιζόμην ὥστε λέγειν τινὰς σκώπτοντας ἐμὲ ὡς

τοὺς γῆν ἔχοντας λοιδορῶ γέωργος ὤν.

ΓΙΛ. Ἀλλ' οὗτος παλαιὸς ὁ λόγος· νῦν δὲ τοῖς πρὶν ἐχθροῖς διηλλαγμένος καὶ συμπολιτευόμενος αὐτοῖς αὐτοκράτωρ εἶ τῆς πολιτείας· σὺ δέ, ὦ Σώκρατες, ἐξέτασον αὐτὸν ἀνερωτῶν ὁποῖα ὑποσχόμενος ἐχειροτονήθη· πανοῦργος γὰρ ὢν καὶ ἐπίορκος φανήσεται.

ΣΩΚ. Ἀλλ' οὕτω ποιήσω· σὺ δ', ὦ Γέωργε, ἵνα ἀπολύσωμέν σε τῶν ἐγκλημάτων ἀποκρίνου· τί ὑποσχόμενος καὶ ποιήσειν φάσκων ᾑρέθης ἄρχων;

ΓΕΩ. Οὐ πάνυ μέμνημαι, ὦ Σώκρατες· ἔφασκον δὲ οἶμαι τὸν μὲν Καίσαρα ἀπάγξειν, τοὺς δὲ Γερμάνους χρήματα ἀποτῖσαι ἀναγκάσειν ὧν ὕβρισαν.

ΣΩΚ. Νῦν δέ, ὦ δαιμόνιε, πότερον ὁ μὲν . . .

πλεκταῖσιν ἀρτάναισι λωβᾶται βίον,

οἱ δὲ χρήματα τὰ προστεταγμένα ἀπέτισαν;

ΓΕΩ. Ἥκιστα· ἀδύνατον γάρ· καὶ γὰρ εἰ ἀποτίνοιεν, οὐδ' ἂν συμφέροι τοῖς ἀποδεχομένοις.

ΣΩΚ. Ταῦτα μὲν δύσκριτα λέγεις, ἴσως δὲ καὶ ἀληθῆ· τὰ δὲ ἕτερα ἃ ὑπέσχου κατεῖπε.

ΓΕΩ. Ἔφασκον πάντα ποιήσειν ὥστε εὐδαίμονας μὲν εἶναι τοὺς πολίτας καὶ εὐκόλους, τὴν δὲ χώραν οὐκ ἀναξίαν τῶν ὑπὲρ αὐτῆς κινδυνευσάντων ἐνοικεῖν ὥσπερ "ἄνδρων ἡρῴων θεῖον γένος".

ΓΙΛ. Νῦν δὲ αἰτιώτατος ἐγένου τῆς τε στάσεως καὶ τῆς ἀργίας δι' ὧν ἰσχναίνεται κάκιστα καὶ πιέζεται· πρῶτον μὲν γὰρ ὅσην δαπάνην χρημάτων δημοσίων ἐδαπάνησας θύραθέν τε ἐν τῇ Μεσοποταμίᾳ καὶ ἐν τῇ Κιμμερίᾳ καὶ δὴ καὶ ἐν τῇ Ἰερνίᾳ—ἐρυθριῶ δὲ ἐγὼ καὶ αἰσχύνομαι τῶν ἐκεῖ διαπεπραγμένων μεμνημένος—καὶ

οἴκοι γε ὡς καὶ σὺ ἔναγχος ὡμολόγησας τὸν Γεδδέσιον βόηθον παρακαλῶν καὶ ὥσπερ ἡ Κλυταιμνήστρα βοῶν

δότω τις ἀνδροκμῆτα πέλεκυν ὡς τάχος,

ἵνα τὴν ὑπερβολὴν τῶν δεδαπανημένων ἀποκολούῃς· ἀτὰρ ταῦτα μὲν ἐάσω, βαδίζω δ' ἐφ' ἃ οἴκοι πεπολίτευσαι. ἀργίας γάρ ποτε γενομένης τῶν ἐν τοῖς μετάλλοις, ἀπορῶν ὅ τι χρὴ δρᾶν πρῶτον μὲν διαιτηταῖς ἐπέτρεψας τὸ πρᾶγμα, ὕστερον δὲ οὐκ ἤθελες ἐμμένειν τῇ κρίσει· εἶτα τὴν ἐμπορίαν ἐνεπόδισας νόμους γράφων ὧν ἐγὼ οὐκ εἶδον ἀχρειοτέρους οὐδὲ γελοιοτέρους ὡς φυλάξων δῆθεν τὰς οἴκοι ἐργασίας.

ΓΕΩ. Ἔδει γὰρ ἐμὲ τοῖς ἀμφὶ Αὔστινον χαρίζεσθαι.

ΓΙΛ. Οὐκ, ἀλλὰ τὰ τῇ Εὐρώπῃ συμφέροντα σκοπεῖν· ὁρᾷς ἤδη αὐτοῦ τὴν πανουργίαν, ὦ Σώκρατες· εἰ δὲ βούλει τὰ λοιπὰ ὧν πεπολίτευται ἐξετάσω ἵνα ἐναργεστέρα φαίνηται.

ΣΩΚ. Ἀτάρ, ὦ βέλτιστε, μὴ οὕτω ποιήσῃς· ἱκανὰ μὲν γὰρ τὰ εἰρημένα, βούλομαι δὲ ἕτερα πολλὰ ὑμᾶς ἀνερωτᾶν. πρῶτον δὲ θαυμασία μοι φαίνεται αὕτη γ' ἡ δημοκρατία εἰ παρὰ τῶν ἐξαπατησάντων τὸν δῆμον εἴτε ἑκόντων εἴτε καὶ μὴ εὐθύνας τε καὶ δίκην λαμβάνειν ὁ δῆμος ἀδυνατεῖ.

ΓΙΛ. Ἀλλ' ἀδυνατεῖ, ὦ Σώκρατες, τό γε νῦν εἶναι, εἴτε διὰ ῥᾳθυμίαν εἴτε ἐξαπατώμενος ὑπὸ τῶν ἀρχόντων, καὶ τῶν καθ' ἡμέραν αὐτοὺς ἐγκωμιαζόντων καὶ οὐδὲ φροντιζόντων τῆς ἀληθείας, δι' ὧν μετ' ἀδείας πανουργοῦσιν ὁ Γέωργος καὶ οἱ τοιοῦτοι, ὥστε νῦν λόγῳ μὲν δημοκρατούμεθα, ἔργῳ δὲ αὐτοκρατούμεθα καὶ λοιδορούμεθα μάτην.

ΓΕΩ. Ληρεῖς, ὦ οὗτος· πῶς γὰρ οὐκ ἐγὼ δήμου εἰμὶ προστάτης ὅστις γε τοὺς Γερμάνους καταπολεμήσας ὑπὸ πάντων καὶ πασῶν ᾑρέθην ὡς εἰρήνην μόνος ἂν δυνάμενος ἐπὶ τοῖς δικαίοις ποιῆσαι.

ΣΩΚ. Τί φῄς; καὶ γὰρ γυναιξὶν ἐπιτρέπετε τὸ πολιτεύεσθαι ἃς ἐχρῆν "ἔνδον οἰκουρεῖν" καὶ τῶν παίδων ἐπιμελεῖσθαι;

ΓΙΛ. Ναί, καὶ φιλοσοφεῖν γε καὶ φοιτᾶν ἐς τὴν Ἀκαδημείαν καὶ τρίβωνας φορεῖν, καὶ πάντα οὕτως ἄνω κάτω στρέφομεν καὶ εἰκῆ φύρομεν ἀγνωμονοῦντες· ἀτὰρ οὔπω οὕτω μαινόμεθα ὡς οἱ ἐν τῇ Ἀμερικῇ· οὗτοι γὰρ πολλοὺς ὁρῶντες μεθύοντας καὶ ὑπὸ τῆς φιλοποσίας, ὡς δοξάζουσι, διαφθειρομένους, οὐκ ἐῶσιν οὐδένα οἶνον καὶ τὰ τοιαῦτα πίνειν δίκας καὶ τιμὰς ἐπιτιθέμενοι, ταύτην δὲ τὴν δουλείαν σωφροσύνην ἀποκαλοῦσιν, καὶ νῦν ἐκεῖ ἔξεστιν ὁρᾶν, ὡς φασίν, αἰλουρόποδας μὲν—οὕτω γὰρ τοὺς τὴν ὑδροποσίαν ἐπιτάττοντας ὀνομάζουσιν—πολλούς, "βάκχους δέ τε παύρους".

ΣΩΚ. Δεινόν τι λέγεις καὶ ἀπίθανον εἰ πρὸς τὸ τοῖς οἰνόφλυξι συμφέρον ἀποβλέποντες οὕτω νομοθετοῦσιν. ἐγὼ γὰρ θαυμάζω εἰ οὕτω ἰσχύουσιν οἱ μεθύοντες ὥστε καὶ τῶν σωφρονούντων καὶ μετρίως πινόντων κρατεῖν· δοκεῖτε δ' ἐμοὶ ὡς ἀληθῶς ὑμεῖς οἱ νῦν τυραννεύεσθαι.

ΓΙΛ. Πάνυ μὲν οὖν. δουλοπρεπὴς γὰρ αὐτὴ ἡ δίαιτα καὶ ἐλευθερίας οὐδὲν μετέχουσα εἰ δεῖ νόμοις καὶ ψηφίσμασι καὶ πολυπραγμοσύνῃ πανταχόθεν ἐμποδιζομένους μήτε πίνειν ὅποταν βουλώμεθα μήτε γαμεῖν ἧς ἂν ἐρῶντες τύχωμεν. εἰσὶ γάρ τινες, ὦ Σώκρατες, οἱ τὴν ἐλευθερίαν οὕτω μισοῦσιν ὥστε καὶ τόδε διισχυρίζεσθαι λέγοντες ὡς οὐ συμφέρει τῇ πόλει πάντας ἐὰν τέκνα τίκτειν ἀλλ' ἀτέκνους εἶναι εἰ μὴ ὑπὸ τῶν ἀρχόντων πρότερον ἐδοκιμάσθησαν ὑγιεῖς ὄντες τό τε σῶμα καὶ τὸν νοῦν, ὡσπερανεὶ οὗτοι δύναιντ' ἂν περὶ ὑγιείας κρίσιν ποιεῖσθαι νοσωδεῖς αὐτοὶ ὄντες καὶ οὐδὲν ὑγιὲς φρονοῦντες· ἐγὼ δὲ ἐν βιβλίῳ τινι ὅπερ νυνδὴ ἐξέδωκα τούτων τὴν μανίαν ἀπέφηνα.

ΣΩΚ. Εὖ γέ συ ποιῶν· δοξάζω δὲ σοῦ γε ζῶντος οὐκ ἄνευ προστάτου ἔσεσθαι τὴν ἐλευθερίαν· νῦν δὲ τὴν

πολιτικὴν λείποντες πρὸς τὴν φιλοσοφίαν ἴωμεν. σὲ δὲ —ἀφιλόσοφος γάρ τις εἶ—ὦ Γέωργε, ἀνελθεῖν νῦν ἐῶ, εἰ μὴ ἐνθάδε διαλέγεσθαι προαιρεῖ. ἀνανεύεις; ἄναγε, ὦ Πολύδευκες, τὸν ἄνθρωπον. βούλομαι δὲ νῦν, ὦ φίλοι—ὑμῖν γὰρ νῦν ὡς "τοῖς μόνοις πιστοῖς ἐμοὶ" διαλέγομαι—ὅπως παρ' ὑμῖν διακεῖται ἡ φιλοσοφία πυνθάνεσθαι· τοιγάρτοι ἀποκρίνου μοι, ὦ Ἰγγία, περὶ αὐτῆς· πότερον πολλὰ καὶ καινὰ ἐφηυρήκασι καὶ ἐπινενοήκασιν οἱ ἄνθρωποι, ἢ ἀπέκαμον ἤδη τὴν ἀλήθειαν ζητοῦντες, καὶ τῷ λόγῳ ἀκολουθοῦντες;

ΙΓΓ. Πολλὰ μέν, ὦ Σώκρατες, καὶ καινὰ ἐφηυρήκαμεν, οὐ πάνυ δὲ ὑγιαίνειν μοι δοκεῖ νῦν ἡ φιλοσοφία, ἀλλ' ἤδη νοσῆσαι· τοῦτο μὲν γὰρ ὁ πολὺς συρφετὸς τῶν ἰδιωτῶν καὶ οἱ βάναυσοι καὶ ἀποχειροβίωτοι τῶν πολιτῶν τῆς παιδείας ἀντιποιοῦνται ἀνάξιοι μὲν ὄντες καὶ ἀγεννεῖς καὶ ἀπειρόκαλοι, καινοτομοῦντες δ' ἀεὶ καὶ τῶν ἀρχαίων καταφρονοῦντες· τοῦτο δὲ ὀλίγοι τῶν νῦν φιλοσοφίᾳ καὶ Πλάτωνι καὶ σοὶ καὶ ἀληθείᾳ προσλαλοῦντες χαίρουσιν, ἀεὶ δὲ καινοῖς τισι καὶ ὀλιγοχρονίοις καὶ κιβδήλοις σοφίσμασιν ἐπιμαίνονται, ὥσπερ τῇ ψυχολογίᾳ τῇ νῦν περιβοήτῳ γενομένῃ.

ΓΙΛ. Πάνυ μὲν οὖν· ἐμοὶ γοῦν οὐ ψυχολογία ἀλλὰ ψυχρολογία φαίνεται καὶ κενοδοξία καὶ τῦφος· τὴν γὰρ ψυχὴν οὐκ αὐτὴν αὐτὴν ἀλλὰ τὰ ἔξω αὐτῆς ἐξετάζειν χρή.

ΣΩΚ. Ἐγὼ δὲ κατὰ τοῦτό γε οὐ σύμψηφός σοι εἰμί· θαυμασίως γὰρ ὡς σοφῶς ἐκεῖνο τὸ "γνῶθι σεαυτὸν" εἰρημένον μοι ἀεὶ ἔδοξεν, δοκεῖ δὲ καὶ νῦν· πλὴν ἀλλὰ οἵ γε νῦν ψυχολογούμενοι ἀλαζονικώτεροι καὶ ἐμοὶ δοκοῦσιν εἶναι, καὶ οὐδ' αὐτοὶ ἱκανῶς καταμεμαθηκέναι ὅ τι ἄρα λέγουσιν· ἐγὼ γοῦν οὔπω καταμεμάθηκα· ἀτὰρ τίνα ταῦτ', ὦ Ἰγγία, ἃ νυνδὴ ἔλεγες τὰ εὑρήματα;

ΙΓΓ. Ὁ μὲν μάλιστ' εὐδοκιμήσας ἐν τῇ φιλοσοφίᾳ Ἄλβερτός[1] τις ἐστὶν γεωμετρικώτατος καὶ ἀστρονομικώ-

[1] Einstein.

τατος τῶν νῦν καὶ σκοτεινότατος ὥστε ὀλίγους πάνυ τῶν ἐφ' ἡμῶν συνίεναι ὅ τι λέγει, εἰ καὶ οὗτοι.

ΓΙΛ. Ἔμοιγε δοκεῖ, οὐδ' οὗτοι.

ΙΓΓ. Διδάσκει δέ, ὡς ἐγῷμαι, ὅτι ἐστὶν μὲν αὐτὸ καθ' αὑτὸ οὐδὲν οὔτε τὸ κενὸν οὐθ' ὕλην οὔτε χρήματα οὐδ' ἄλλ' ὁτιοῦν εἰ μὴ πρὸς πάντα τἆλλα ἅμα σκοπούμενον καὶ θεωρούμενον, κινεῖσθαι δὲ πάντ' ἀεὶ καὶ μεταβάλλεσθαι καὶ ἀλλοιοῦσθαι.

ΣΩΚ. Κατὰ ταῦτά γε καὶ Ἡρακλείτῳ σύμψηφος ὤν.

ΙΓΓ. Τὸν δὲ χρόνον οὐ φησὶ φύσει ἀλλότριον εἶναι τοῦ κενοῦ, ἀλλ' ὁμοιότροπον· τοὺς δὲ ἀνθρώπους οὕτω νενομικέναι ἅτε ἀσυνέτους ὄντας τοῦ ὄντος.

ΣΩΚ. Τοῦτ' αὖθις Ἡρακλείτου ὅστις γε τοῦ λόγου, φησίν, ἐόντος ἀεὶ ἀξύνετοι γίνονται οἱ ἄνθρωποι ὡς ἰδίαν ἔχοντες φρόνησιν.

ΙΓΓ. Ἀληθῆ ταῦτα φῄς· ἃ δὲ ἐκεῖνος αἰνιττόμενος καὶ τοπάζων ὥσπερ ἐν σκοτῷ ψηλαφῶν οὗτος ἀκριβέστατα σκεψάμενος ἀναλογίζεται καὶ τεκμηρίοις ἀναμφισβητήτοις ἐλέγχει ὀρθότατα καὶ θαυμασιώτατα οὐ μόνον διηγούμενος ἀλλὰ καὶ προμαντευόμενος τὰ περὶ τὴν ἀστρονομίαν.

ΣΩΚ. Ἀλλ' οὐ σχολή μοι νῦν περὶ τούτων μανθάνειν καίπερ ἡδέως ἂν τοῦτο ποιοῦντι· σοφώτατα δ' ἐμοὶ δοκεῖ τὴν τοῦ χρόνου φύσιν ἀποφῆναι ὡς τῷ μὲν ὄντι αὐτὸ καθ' αὑτὸ οὐκ ἐστίν, δοκεῖ δὲ νόμῳ τινὶ ἀνθρωπίνῳ.

ΙΓΓ. Πλὴν ἀλλ' οὕτως λέγει, ἀλλὰ τοῖς τε πολλοῖς ληρεῖν δοκεῖ, τῶν δὲ φυσιολόγων οὐκ ὀλίγοις, τοὺς δὲ σοφωτάτους καὶ γεωμετρικωτάτους ἀναπείθει λέγων ὅτι τὸ ὂν οὐκ ἐστίν, ὥς τινες δοξάζουσιν, ἀκίνητον καὶ ἁπλοῦν καὶ ἀπέραντον κενὸν ἐν ᾧ κινοῦνται περιφερόμενοι οἵ τ' ἀστέρες καὶ ἡ γῆ καὶ ὁ ἥλιος, αἰθέρος τινὸς λεπτοτάτου μεστὸν δι' οὗ διαπορεύεται ἄϊσσον τὸ φῶς ὥσπερ ἐν τῇ θαλάσσῃ τὰ κύματα.

ΣΩΚ. Ποῖον ἄρα τῷ ὄντι λέγει τὸ ὂν εἶναι ;

ΙΓΓ. Συμφορῶν ἀμήχανον πλῆθος· λέγει δὲ αὐτὸ πέρατα μὲν οὐκ ἔχειν, ἄπειρον δ᾽ ὅμως οὐ πεφυκέναι· ἅτε δὲ ἀμυήτῳ ὄντι καὶ ἀνεπιστήμονι τῆς μαθηματικῆς ἀδύνατον ἐμοὶ ταῦτα συνιέναι.

ΣΩΚ. Ἀτὰρ συνετώτατα ἐμοὶ ταῦτα ἐξηγήσω· νῦν δὲ ταῦτα λείπων τὰ μυστήρια εἰπέ μοι ὅπως ἔχουσιν οἱ πολλοὶ τῶν νῦν πρὸς τὴν σοφίαν, καὶ πρὸς ὅ τι μάλιστα βλέποντες βιοῦσι τὸν βίον.

ΙΓΓ. Ὦ Σώκρατες, οἱ μὲν αὐτῶν Γαλλικῷ τινι σοφιστῇ πειθόμενοι μαγεύουσι καὶ ἐπῳδάς τινας ἐφ᾽ ἑαυτοῖς μινυρίζουσιν, ἤν πως τῶν νόσων δύνωνται ἄκος εὑρεῖν καὶ ὑγιαίνειν πάλιν τό τε σῶμα καὶ τὸν νοῦν· ἅμα γὰρ καταδαρθάνοντες, καὶ αὖθις ἀνεγειρόμενοι τοίαδε ῥαψῳδοῦσι πρὸς ἑαυτούς·

αἰὲν βελτίων, βελτίων αἰὲν ἐμαυτοῦ
σῶμά τε καὶ ψυχὴν εἰμὶ κατ᾽ ἦμαρ ἐγώ.

ΣΩΚ. Κομψότατόν γε τὸ μέλος καὶ Ὀρφικώτατον.

ΙΓΓ. Τοῦτο δ᾽ οὐχ ἅπαξ λέγουσιν ἀλλ᾽ εἰκοσάκις καὶ οὐδὲν ἐνδοιάζοντες ἠρέμα πρὸς ἑαυτοὺς ὥσπερ ἐπῳδήν τινα ἐπᾴδοντες, καὶ πανακείαν δοκοῦσιν εὑρεῖν πάντων τῶν ἀνθρωπίνων κακῶν.

ΣΩΚ. Εὐηθεῖς λέγεις τοὺς ἀνθρωπίσκους.

ΙΓΓ. Ναί· καὶ ἐς τοσοῦτο δὴ τὴν μανίαν προάγουσιν ἔνιοί γ᾽ αὐτῶν ὥστε τὸν ταῦτα καταδείξαντα ὥσπερ θεὸν σέβεσθαι καὶ σωτῆρα.

ΣΩΚ. Ἀνόητα καὶ ἀβέλτερα ποιοῦντες· ἀτάρ, ὦ Ἰγγία, ἔσθ᾽ ὅπως ταῦτα μελετῶντες οὐχ ὅλως ἁμαρτάνουσιν· πολλοὶ γὰρ δι᾽ οὐδὲν ἄλλο νοσοῦσιν ἢ τὸ δοκεῖν αὑτοῖς νοσεῖν, ἴσως δὲ ταῦτα ποιοῦντες γένοιντ᾽ ἂν ὑγιέστεροι.

ΙΓΓ. Ἀληθῆ ταῦτα φῄς· ἕτεροι δ᾽ αὖ μανίαν πολλῷ μανικωτέραν μαίνονται ταύτης καὶ ἐξωλεστέραν.

ΣΩΚ. Τὴν ποίαν;

ΙΓΓ. Βουλόμενοι δὴ τοῖς τεθνηκόσι τῶν φιλῶν διαλέ-

γεσθαι τὰς ψυχὰς αὐτῶν ἐξ Ἅιδου ἀνακαλεῖν πειρῶνται, Κόνωνί τινι ἑπόμενοι ἀνδρὶ πρότερον μὲν οὐκ ἀσυνετῷ ὄντι, εἰ δεῖ τοῖς ἐκδεδομένοις μύθοις τεκμαίρεσθαι, νῦν δὲ τὴν πρὶν ὀξυδερκίαν ὅλως ἀποβεβληκότι καὶ τυφλώττοντι τὴν ψυχήν.

ΣΩΚ. Καὶ πῶς δὴ ἀνακαλεῖν αὐτὰς οἴονται; πότερον γοητείαις κηλοῦντες καὶ ἐπῳδαῖς ἢ πῶς;

ΙΓΓ. Ὧδέ πως· συναθροισθέντες γὰρ εἰς οἴκημά τι τρεῖς ἢ τέτταρες τῶν τοῖς τεθνηκόσι προσλαλεῖν βουλομένων, πρῶτον μὲν φῶς ἅπαν ἀποκλείουσιν· εἶτα δὲ σκότον ποιήσαντες γυναῖκά τινα πάλαι τὰ τοιαῦτα μεμελετηκυῖαν ἣν ἑρμηνεύτριαν καλοῦσιν ἐς τὸ μέσον καταστήσαντες, τότε δὴ ᾄδοντες καὶ μινυρίζοντες πρὸς ἀλλήλους διατελοῦσι μέχρι οὗ ἔνθεον δῆθεν γενόμενον τὸ γύναιον διαλέγεται αὐτοῖς φωνῇ χρώμενον οἵαν ἐν βίῳ αὐτὸς ἐφθέγξατο ὁ τεθνηκώς. οἴονται δὲ πάντες αὐτοὺς τοὺς τεθνηκότας δι' ἐκείνης σφισὶ προσλαλεῖν· νῦν δὲ μάλιστα περὶ ταῦτα κορυβαντιῶσι διὰ τὸν ἔναγχος πόλεμον ἅτε πολλῶν τῶν ἀρίστων ἐν αὐτῷ ἀποθανόντων· ἐγὼ δὲ πάντα ταῦτα λῆρον εἶναι δοξάζω καὶ ἀναιδῆ φενακισμόν· οὐ γὰρ εἰκὸς τοὺς τεθνηκότας τοῖς ζῶσι συγγενέσθαι.

ΣΩΚ. Οὐδέποτε, εἴ γε μὴ πρὸς ἡμᾶς ἀφίξονται οἱ ζῶντες ὥσπερ νῦν ὑμεῖς· πλὴν ἀλλὰ πολλοὶ ἀεὶ ταύτης τῆς ἀνόμου ὁμιλίας ἐπιθυμοῦσιν, ὥσπερ ἐπ' ἐμοῦ τῶν Ὀρφικῶν τινές, νῦν δ' ὥς συ διηγοῦ οὗτοι οἱ ἀθανατίζοντες. καίτοι οὐδ' ἐπιθυμοῦμεν ἡμεῖς τοῖς ἄνω προσλαλεῖν ζῶσιν καίπερ οὐκ ἀμνήμονες αὐτῶν ὄντες—οὐ γὰρ νόμιμον, οὐδ' ὅσιον—ἅτε πολλῷ γενναιοτέροις καὶ ὑψηλοτέροις τοῖς θεωρήμασιν ἀεὶ σύνοντες.

ΙΓΓ. Εἰκότα λέγεις καὶ ἀληθέστατα.

ΣΩΚ. Περὶ μὲν οὖν τῆς φιλοσοφίας ταῦθ' ἱκανῶς ἔστω εἰρημένα· πλὴν ἀλλὰ καὶ τὰ τῆς ποιητικῆς ἡδέως ἂν πυνθανοίμην ὅπως διάκειται παρ' ὑμῖν· ἀτάρ μοι, ὦ φίλε, ἐς βραχύτατα συντεμὼν εἰπε τὸν λόγον· σχολάζειν γὰρ οὐκ ἐᾷ

με ὁ Πολυδεύκης πάλαι σπεύδων ἀνάγειν πάλιν ὑμᾶς. εἶπε τοίνυν πότερον φοιτῶσιν ἔτι ἐς τὸ θέατρον οἱ ἄνθρωποι· πότερον πολλοὶ καὶ ἀγαθοὶ νῦν παρ' ὑμῖν εἰσὶν οἱ τραγικοί;

ΙΓΓ. Ἥκιστ', ὦ μακάριε· ἔξεστι γάρ μοι τοῦτό σοι ἐρωτῶντι τὸ τοῦ Ἀριστοφάνους ἀποκρίνεσθαι,

οἱ μὲν γὰρ οὐκέτ' εἰσίν, οἱ δ' ὄντες κακοί.

ἀτὰρ οὐδὲν ἧσσον καίπερ καθηδυπαθουμένης τῆς τέχνης καὶ διαφθειρομένης, μεστὰ μὲν γίγνεται τὰ θέατρα, θέαμα δὲ ἄξιον λόγου θεῶνται οἱ θεαταὶ οὐδ' ὁτιοῦν. χαίρουσι γὰρ καιναῖς τισι κωμῳδίαις οὐδὲν ὑγιὲς οὐδὲ σπουδαῖον ἀλλὰ τὰ φαυλότατα μιμουμέναις, καὶ δράμασιν ἢ τῇ μελοποιίᾳ ὅλως ὑπηρετοῦσιν, ἤτοι φόνων γε καὶ τῶν τοιούτων μεστοῖς, ὑφ' ὧν διαφθαρήσεσθαι μέλλουσιν οἱ νέοι, ὥς γε τῷ Φαρνελλίῳ δοκεῖ, σοφωτάτῳ ἀνδρὶ καὶ πολυμαθεστάτῳ.

ΠΟΛ. Οὗτος, ὦ Σώκρατες, ἐκεῖνος ὅν σοι ἔλεγον, ὁ ἡμῶν τῶν ἡρῴων τὴν φύσιν ἀκριβέστατα τοῖς ἀνθρώποις ἀποπεφηνὼς καὶ ἀληθέστατα.

ΣΩΚ. Ἀτάρ, ὦ Ἰγγία, πῶς οὐκ αἰσχρὸν εἰ οὕτω καταρρεῖ καὶ ἀπομαραίνεται ἡ τραγῳδία παρ' ὑμῖν, οἵ γε ἐξ οὗ δὴ κατῆλθεν ἐνθάδε ὁ Δορυπάλτης ἐδόξατε τραγικώτατοι πάντων τῶν ἐθνῶν· ὁ γὰρ Αἰσχύλος ἐπεὶ ἐκείνου ἤκουσε καίπερ τόν τε Εὐριπίδην καὶ ἄλλους πολλοὺς καταπαλαίσας ἀνταγωνιζόμενος τῇ τέχνῃ, ὅμως εὐθὺς "ὑπεχώρησεν αὐτῷ τοῦ θρόνου" ὡς πολλῷ βελτίστας πεποιηκότι τὰς τραγῳδίας, ἐμοὶ δὲ καὶ πᾶσι ταὐτὰ συνδοκεῖ· τόδε δ' ἐμοὶ ἀποκρίνου· πότερον ἐκείνῳ συντέθνηκεν ἡ ποίησις, ἢ ἔτι καὶ νῦν ὑποκρίνεσθε αὐτοῦ τὰ δράματα;

ΙΓΓ. Ὑποκρίνονται μέν τινες αὐτά, ἀλλ' οὐχ οἱ βέλτιστοι τῶν ὑποκριτῶν· φιλόδοξοι γὰρ εἰσὶ καὶ τῷ πολλῷ συρφετῷ χαρίζονται ἀπειροκάλῳ ὄντι· τοιγάρτοι κρατεῖται ἤδη ἡ τραγῳδία καὶ ὑποχωρεῖ πολλῷ φορτικωτέρᾳ τῇ τέχνῃ.

ΣΩΚ. Τῇ ποίᾳ;

ΙΓΓ. Τῇ κινηματογραφικῇ καλουμένῃ, νεήλυδι μὲν οὔσῃ, ἤδη δὲ εὐδοκιμούσῃ καὶ πανταχοῦ ἀναφυομένῃ· ἐξελαύνειν δ' ἔοικε τὴν τραγῳδίαν ὥσπερ τὰ φαῦλα τῶν φυτῶν τὸν σῖτον.

ΣΩΚ. Θαυμαστὴν λέγεις καὶ τερατωδῆ· ἀτὰρ τὴν φύσιν αὐτῆς ὡς τάχος διηγοῦ· ἐγὼ γὰρ ἀγνοῶ.

ΙΓΓ. Ἀλλ' οὐ ῥᾴδιον τῷ ὅλως ἀνεπιστήμονι αὐτῆς διηγεῖσθαι. εἰ δὲ βούλει πειράσομαί σοί γε χαριζόμενος.

ΣΩΚ. Βούλομαι γάρ, ὥστε διηγεῖσθαι δεῖν.

ΙΓΓ. Τῇ ζῳγραφίᾳ τοιγαροῦν ἔοικεν, ἀλλ' οὐ τὰ ἀκίνητα μόνον μιμεῖται, ἀλλ' ἀπομιμεῖται καὶ τὰς κινήσεις.

ΣΩΚ. Ληρεῖς, ὦ οὗτος, ἀπίθανα καὶ θαυματόποια λέγων.

ΙΓΓ. Ἀλλ' οὕτως ἔχει· μιμεῖται γὰρ ὧδέ πως· σὺ δὲ οἶσθά που τὴν φωτογραφικὴν καλουμένην τέχνην ὁποία τις πέφυκεν εἶναι;

ΣΩΚ. Οἶδα παρὰ τῶν ἀφικομένων ἐνθαδὶ ἀκούσας.

ΙΓΓ. Μυρίας τοίνυν τὰς τοιουτώδεις γραφὰς ποιήσαντες, συνείρουσιν αὐτὰς καὶ λαμπάδος λαμπροτάτης ἔμπροσθεν οὕτω περικυκλοῦσιν ὥστε εἰκόνα τινα ἐς λευκὸν φᾶρος παρεσκευασμένον βάλλεσθαι· ἐπεισκυκλούμεναι δὲ ἕτεραι ἑτέραις αἱ γραφαὶ πάθος ἐμποιοῦσι τοῖς θεωμένοις ὥστε δοκεῖν αὐτοὺς πράττοντάς τινας ὁρᾶν.

ΣΩΚ. Ὡς ἀληθῶς "πολλὰ τὰ δεινὰ" ἐν ἀνθρώποις.

ΙΓΓ. Ἀλλὰ καὶ δεινότερα τούτων ἐπετεχνήσαντο, εἰ σὺ βούλει ἀκούειν τά τε ἄλλα καὶ τὰ τῆς τηλεγραφικῆς. δεινότατα δὲ πάντων τὰ ἐν τῇ πολεμικῇ ἐφηυρημένα.

ΣΩΚ. Μὴ λέξῃς, ὦ Ἰγγία· τὰ μὲν γὰρ ἤκουσα, τὰ δὲ οὐ δύναμαι μανθάνειν· τῶν τοιούτων γὰρ οὐκ εἰμὶ φιλομαθής· τοῦτο δὲ μάλιστα θαυμάζω, εἰ πᾶσι τούτοις τοῖς εὑρήμασιν Ἑλληνικὰ προσέθηκαν τὰ ὀνόματα.

ΙΓΓ. Ἀληθῆ λέγεις· σοφοὶ γὰρ ὄντες οἱ Ἕλληνες

καὶ εὐτράπελοι εὐτράπελον καὶ τὴν φωνὴν ἔχουσι καὶ τῇ σοφίᾳ ἐπιτηδειοτάτην.

ΣΩΚ. Ταῦτα δὲ ἐφηυρηκότες πότερον καὶ χρῆσθαι σωφρόνως καὶ καλῶς ἐπίστασθε; δυνατωτέρους γὰρ γενομένους καὶ ἐγκρατεστέρους τῆς φύσεως πολλὴ ἀνάγκη καὶ βελτίους γίγνεσθαι καὶ πρᾳοτέρους, ἵνα μὴ διαφθείρωσιν ἀλλήλους οἱ ἄνθρωποι πολεμοῦντες.

ΙΓΓ. Ἥκισθ᾽ ὥς γε νῦν μοι δοκεῖ, ἀλλὰ χείρους· ἔτι δ᾽ ὅμως ἐλπίς ἐστι τοὺς ἀνθρώπους τῷ πολέμῳ κεκολασμένους σωφρονήσειν. συμμαχίαν γοῦν καὶ συνωμοσίαν ἐποιήσαντο ἐφ᾽ ᾧ τε μὴ πολεμεῖν ἀλλήλοις πρὶν ἐς δίκας ἐλθεῖν· ἔναγχος δὲ συνῆλθον βουλευσόμενοί τινες τῶν ἀρχόντων ἐς τὴν Λουσόπολιν ὅπως καὶ τοὺς στρατοὺς καὶ τὰς ναῦς εἰς ἐλάχιστον συστείλειαν.

ΣΩΚ. Πότερον ἐκεῖσε καὶ ὁ Γέωργος ἐπρέσβευσεν;

ΙΓΓ. Ἥκιστ᾽ ἀλλ᾽ ὁ Ἀρθοῦρος, μεγαλόψυχος ὢν ἀνὴρ καὶ φιλόσοφος.

ΣΩΚ. Σωφρονοῦσι δὴ τοῖς φιλοσόφοις ἐπιτρέποντες τὰς πρεσβείας· ἔδει δὲ καὶ τὰς ἀρχάς.

ΙΓΓ. Πλὴν ἀλλὰ πάλαι μὲν ἦν ὁ Ἕρβερτος ἄρχων οὐκ ἀφιλόσοφος πεφυκώς· ἐξήλασεν δὲ αὐτὸν ὁ Γέωργος διατρίβειν αὐτὸν φάσκων καὶ φιλοσοφεῖν, δέον πολεμεῖν· καὶ τοῖς μὲν πολλοῖς ἀληθεύειν ἔδοξεν, ἐμοὶ δ᾽ οὔ.

ΣΩΚ. Πανοῦργος γὰρ ὁ ἀνθρωπίσκος· ἀτὰρ πόρρω τοῦ λόγου πεπλανήμεθα· ἐπανελθῶμεν οὖν, σὺ δὲ περὶ τῆς κινηματογραφικῆς τὰ λοιπὰ διηγοῦ.

ΙΓΓ. Ἀλλ᾽ οὐδὲν δεῖ μακρολογίας· ὁπόταν γὰρ σχολάζωσιν, ὠστίζονται ἀλλήλοις οἱ ἄνθρωποι, καὶ τὸ διώβολον κατατιθέασιν ἵνα θεῶνται, οὐχ ὡς φιλοκαλοῦντες—πολλοῦ γε καὶ δεῖ—ἀλλ᾽ ἵνα φαυλοτάτου βίου καὶ ἀνδρῶν καὶ γυναικῶν οἷαι οὐδεπώποτ᾽ ἐγένοντο οὐδὲ μὴ γένωνται μίμησιν θεωροῦντες μαλακίζωνται, ἐξέρχωνται δὲ φαντασμάτων ἀνοήτων καὶ ἀδυνάτων πλησμονὴν ἐν ἑαυτοῖς ἔχοντες.

ΣΩΚ. Ἔδει δέ που θεωρημάτων καλῶν καὶ πράξεων γενναίων ποιεῖσθαι τὴν μίμησιν ὥστε παιδεύεσθαι ἅμα καὶ καθαίρεσθαι κηλουμένας τὰς ψυχὰς τῶν θεωμένων· εἰ δ' ἄρα παιδιᾶς ἕνεκα δεῖ καὶ τὰ γελοῖα μιμεῖσθαι, ἀλλ' ὅμως οὐκ ἀνάξια τῷ ἐλευθέρῳ καὶ πεπαιδευμένῳ θεᾶσθαι.

ΓΙΛ. Ἀλλ', ὦ Σώκρατες, τοιοῦτός τις καὶ νῦν ἐστι τῶν γελοίων μιμητής· ὁ γὰρ Ἰγγίας ἰταμῶς πως καὶ ῥωπογραφικῶς τῷ λόγῳ ἐπεξελθὼν ἅπαντα ἐς τὸ χεῖρον τρέπει παρὰ τὸ δέον· ἔστι γὰρ ἡμῖν κομψότατός τις ἀνθρωπίσκος Κάρολος τῷ ὀνόματι οὗ ἑκάστοτε εἰσερχομένου ἐς τὴν σκηνὴν—λέγω δὲ τὴν γραφὴν—γελῶσιν οἱ θεαταὶ εἰκότως· ἐγὼ γοῦν ἀεὶ

καίπερ δάκνων ἐμαυτόν, ἀλλ' ὅμως γελῶ.

ΣΩΚ. Καὶ τί ποιοῦν οὕτω γελωτοποιεῖ τὸ Καρολίδιον;

ΓΙΛ. Πολλὰ καὶ γελοῖα· ἀτὰρ τῇ βάσει μόνῃ κινεῖ καὶ τοῖς σκυθρωποτάτοις τὸν γέλωτα, ὁρῶσιν αὐτὸν βρενθυόμενον ἐν ταῖς ὁδοῖς καὶ τὼ ὀφθαλμὼ παραβάλλοντα.

ΣΩΚ. Ταὐτὰ δὲ ταῦτα καὶ ἐμὲ ἔσκωπτεν ὡς ποιοῦντα ὁ Ἀριστοφάνης· ἐγὼ δὲ ἐν τῷ βίῳ οὐκ ἐκωμῴδησα ἀλλ' αὐτὸς ἐκωμῳδήθην ὑπ' ἄλλων. ἀτάρ, ὦ Πολύδευκες, τί δυσχεραίνεις; ὁρῶ γάρ σε πάλαι σπεύδοντά τι λέγειν.

ΠΟΛ. Καιρὸς νῦν, ὦ Σώκρατες, τούτους ἀνάγειν, καὶ οὐ θέμις ἔτι διατρίβειν αὐτοὺς ἐνθάδε διαλογιζομένους.

ΣΩΚ. Ἀλλ' ἀφήσω αὐτούς· ὑμῖν δ', ὦ φιλοί, χάριν ἔχω ὅτι ταῦθ' οὕτως ἀκριβῶς ἐμοὶ διηγήσασθε ἀποκρινόμενοι· βουλόμενος γὰρ εἰδέναι ὁποίαν δίαιταν διαιτῶνται οἱ νῦν τὸ ἀληθὲς ὑφ' ὑμῶν καὶ τὸ σαφὲς ἔμαθον, εἰ μὴ ἅπαντα ἀλλὰ τὰ κεφαλαῖα. καὶ ὁρῶ τοὺς νῦν ἀνθρώπους ταραττομένους μὲν καὶ πολλοῖς κακοῖς συνόντας, ὑπὸ πολλῆς δὲ τῆς φλυαρίας ἐξαπατωμένους, καὶ τῶν ἐπ' ἐμοῦ χείρους θ' ἅμα καὶ βελτίους. δῆλα γὰρ δὴ ἐκ τῶν

εἰρημένων ὡς οἱ ἐφ' ὑμῶν ὥσπερ ἀναρρώννυνται μὲν νοσήσαντες διὰ τὸν πόλεμον, ὥσπερ δὲ καύσεως καὶ τομῆς τυχόντες οὔπω ἱκανῶς ὑγιαίνουσιν, ἔτι δὲ ὑπὸ τῆς νόσου ταράττονται καὶ στασιάζουσιν· ὥστε γοήτων τινων καὶ φενάκων ὑπακούουσιν, ἔτι δ' ἐν

χειμῶνι πολλῷ σὺν ζάλῃ τ' ὀμβροκτυπῷ

στροβοῦνται "ποιμένος κακοῦ στρόβῳ" οὔπω εἰς λιμένα εὔορμον καταγαγόμενοι· τοιγάρτοι ὑμῶν νυνδὴ ἀκούων ἀνεμιμνησκόμην τὸ τοῦ ποιητοῦ ἀληθέστατα εἰρημένον,

ὦ πόποι, ὦ δειλὸν θνητῶν γένος, ὦ δυσάνολβον
οἵων ἐκ τ' ἐρίδων ἔκ τε στοναχῶν ἐγένεσθε·

ὅμως δ' ἐλπὶς μεγάλη ἐστιν ὑμᾶς τῶν γε γοήτων ἀπαλλαχθέντας καὶ τῶν ἐρίδων καὶ τῶν στοναχῶν παύσεσθαι.

ΙΓΓ. Χαίρω σου ταῦτ' ἀκούων, ὦ Σώκρατες· νῦν δὲ ἡδέως ἂν παρὰ σοῦ ἀκούσαιμι ὁποία τε πέφυκεν ἡ ψυχή, καὶ ὁποῖος ὁ τῶν τεθνηκότων βίος.

ΣΩΚ. Ἀλλ' οὐ θέμις ταῦτα μανθάνειν πρὶν τεθνηκέναι.

ΙΓΓ. Ἀλλ' οὐδέν μοι μέλει· εὐθὺς γὰρ καταθνήσκων μετὰ σοῦ ἀθανατίζειν προαιροῦμαι μᾶλλον ἢ θνητὸς εἶναι ἐν ἀνθρώποις.

ΣΩΚ. Εὐφήμει, ὦ θνητέ· δεῖ γὰρ τὸν προστεταγμένον χρόνον μένειν. νῦν δέ, ὦ Πολύδευκες, ἄναγε πάλιν τούτους· οὐδὲ γὰρ ἐχρῆν τοσαῦτα μακρολογεῖν· ὑμεῖς δ', ὦ θνητοὶ καὶ δι' οὐ συχνοῦ χρόνου ἀθάνατοι ἐσόμενοι, χαίρετε καὶ σωφρονεῖτε.

PRINTED IN ENGLAND
AT THE OXFORD UNIVERSITY PRESS
BY FREDERICK HALL